πωλεῖ, δὸς τὸ διάφορον (εἴ σοι λυσιτελὲς) ὅσου πωλεῖται, εἰ δὲ κἀκεῖνα θέλεις μὴ προΐεσθαι, καὶ ταῦτα λαμβάνειν, ἄπληστος εἶ καὶ ἀβέλτερος. οὐδὲν οὖν ἔχεις ἀντὶ τοῦ δείπνου; ἔχεις τὸ μὴ ἐπαινέσαι τοῦτον, ὃν οὐκ ἤθελες· τὸ μὴ ἀνασχέσθαι αὐτοῦ τῶν ἐπὶ τῆς εἰσόδου.

## ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Τὸ βούλημα τῆς φύσεως καταμαθεῖν ἐστιν ἐξ ὧν οὐ διαφερόμεθα πρὸς ἀλλήλους. οἷον ὅταν ἄλλο παιδάριον κατεάξῃ τὸ ποτήριον, πρόχειρον εὐθύς, ὅτι τῶν γινομένων. ἴθι εἶναι ὅτι κἂν τὸ σὸν κατεαγῇ, τοιοῦτον εἶναί σε δεῖ, ὁποῖον ὅτε καὶ τοῦ ἄλλου κατεάγη. οὕτω μετατίθει, καὶ ἐπὶ τὰ μείζονα, τέκνον ἄλλου τέθνηκεν, ἢ γυνή, οὐδείς ἐστιν ὅστις οὐκ ἂν εἴποι, διότι ἀνθρώπινον, ἀλλ᾽ ὅταν τὸ αὐτοῦ τινὸς ἀποθάνῃ, εὐθὺς οἴμοι, καὶ τάλας ἐγώ. ἐχρῆν δὲ μεμνῆσθαι τί πάσχομεν περὶ ἄλλων ὡς αὐτὸ ἀκούσαντες.

## ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Ὥσπερ σκοπὸς πρὸς τὸ ἀποτυγχάνειν οὐ τίθεται, οὕτως οὐδὲ κακοῦ φύσις ἐν κόσμῳ γίνεται. εἰ μὲν τὸ σῶμά σου τίς ἐπέτρεπε τῷ ἀπαντήσαντι, ἠγανάκτεις ἄν. ὅτι δὲ σὺ τὴν γνώμην τὴν σεαυτοῦ ἐπιτρέπεις τῷ τυχόντι, ἵνα ἐὰν λοιδορῆταί σοι ταραχθῇ, ἐκείνη, καὶ συγχυθῇ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

οὐκ αἰσχύνῃ; τούτου ἕνεκα ἑκάστου ἔργου σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα αὐτοῦ, καὶ οὕτως ἔρχου ἐπ' αὐτό. εἰ δὲ μὴ τὴν μὲν πρώτην προθύμως ἥξεις, ἅτε μηδὲ τῶν ἑξῆς ἐντεθυμημένος, ὕστερον δὲ ἀναφανέντων τινῶν αἰσχρῶν ἀποστήσῃ.

## ΚΕΦΑΛΑΙΟΝ ΛΕ΄.

Θέλεις ὀλύμπιον νικῆσαι; κἀγὼ νὴ τὸν Θεόν, κομψὸν γὰρ ἐστίν, ἀλλὰ σκόπει τὰ καθηγούμενα, καὶ τὰ ἀκόλουθα, καὶ οὕτως ἅπτου τοῦ ἔργου. δεῖ εὐτακτεῖν ἀναγκοτροφεῖν, ἀπέχεσθαι πεμμάτων, γυμνάζεσθαι πρὸς ἀνάγκην ἐν ὥρᾳ τεταγμένῃ, ἐν καύματι, ἐν ψύχει. μὴ ψυχρὸν πίνειν, μὴ οἶνον ὡς ἔτυχεν ἁπλῶς. ὡς ἰατρῷ παραδεδωκέναι σεαυτὸν τῷ ἐπιστάτῃ, εἶτα ἐν τῷ ἀγῶνι παρέρχεσθαι. ἔστι δὲ ὅτε χεῖρα βαλεῖν σφυρὸν στρέψαι, πολλὴν ἀφὴν καταπιεῖν. ἔσθ' ὅτε μαστιγωθῆναι καὶ μετὰ τούτων πάντων νικηθῆναι. ταῦτα ἐπισκεψάμενος, ἂν ἔτι θέλῃς ἔρχου ἐπὶ τὸ ἀθλεῖν, εἰ δὲ μὴ ὡς τὰ παιδία ἀναστραφήσῃ, ἃ νῦν μὲν παλαιστὰς παίζει, νῦν δὲ μονομάχους, νῦν δὲ σαλπίζει, εἶτα τραγῳδεῖ. οὕτω καὶ σὺ νῦν μὲν ἀθλητὴς, νῦν δὲ καὶ μονομάχος, εἶτα ῥήτωρ, εἶτα φιλόσοφος. ὅλῃ δὲ τῇ ψυχῇ οὐδέν, ἀλλ' ὡς πίθηκος, πᾶσαν θέαν ἐὰν ἴδῃς μιμῇ, καὶ ἄλλο ἐξ ἄλλου σοι ἀρέσκει· οὐ γὰρ μετὰ σκέψεως ἦλθες ἐπὶ τι, οὐδὲ περιοδεύσας, ἀλλ' εἰκῇ, καὶ κατὰ ψυχρὰν ἐπιθυμίαν, οὕτω θεα-

σα-

σάμενοι τινὲς φιλόσοφον, καὶ ἀκούσαντες οὕτω τινὸς λέγοντος ὡς εὖ τὶς τῶν φιλοσόφων λέγει (καίτοι τὶς οὕτω δύναται εἰπεῖν ὡς ἐκεῖνος) θέλουσι, καὶ αὐτοὶ φιλοσοφεῖν.

## ΚΕΦΑΛΑΙΟΝ Λϛ΄.

Ἄνθρωπε πρῶτον ἐπίσκεψαι ὁποῖόν ἐστι τὸ πρᾶγμα, εἶτα καὶ τὴν σεαυτοῦ φύσιν κατάμαθε εἰ δύνασαι βαστάσαι. πένταθλος εἶναι βούλει, ἢ παλαιστὴς ἴδε σεαυτοῦ τοὺς βραχίονας τοὺς μηρούς, τὴν ὀσφὺν κατάμαθε, ἄλλος γὰρ πρὸς ἄλλο πέφυκε, δοκεῖς ὅτι ταῦτα ποιῶν ὡσαύτως δύνασαι ἐσθίειν, ὡσαύτως πίνειν, ὡσαύτως ὀργίζεσθαι, ὁμοίως δυσαρεστεῖν. ἀγρυπνῆσαι δεῖ, πονῆσαι, ἀπὸ τῶν οἰκείων ἀπελθεῖν, ὑπὸ παιδαρίου καταφρονηθῆναι, ὑπὸ τῶν ἀπαντώντων καταγελασθῆναι, ἐν παντὶ ἧττον ἔχειν ἐν τιμῇ, ἐν ἀρχῇ, ἐν δίκῃ, πραγματίῳ παντί. Ταῦτα ἐπίσκεψαι, ἢ θέλεις ἀντικαταλλάξασθαι τούτων ἀπάθειαν, ἐλευθερίαν, ἀταραξίαν. εἰ δὲ μή, μὴ πρόσαγε, μὴ ὡς τὰ παιδία. νῦν φιλόσοφος, ὕστερον δὲ τελώνης, εἶτα ῥήτωρ, εἶτα ἐπίτροπος καίσαρος. γύνη, ταῦτα οὐ συμφωνεῖ. ἕνα σε δεῖ ἄνθρωπον ὄντα, ἀγαθὸν, ἢ κακὸν εἶναι, ἢ τὸ ἡγεμονικόν σε δεῖ ἐξεργάζεσθαι τοῖς αὐτοῦ, ἢ τὰ ἐκτὸς, ἢ περὶ τὰ ἔσω φιλοτεχνεῖν, ἢ περὶ τὰ ἔξω, τουτέστιν, ἢ φιλοσόφου τάξιν ἐπέχειν, ἢ ἰδιώτου.

## ΚΕΦΑΛΑΙΟΝ ΛΖ′.

Τὰ καθήκοντα ὡς ἐπίπαν ταῖς σχέσεσι παραμετρεῖται. Πατήρ ἐστιν, ὑπαγορεύεται ἐπιμελεῖσθαι, παραχωρεῖν ἁπάντων, ἀνέχεσθαι λοιδοροῦντος, παίοντος. ἀλλὰ κακὸς ὁ πατήρ ἐστί; μήτι οὖν πρὸς ἀγαθὸν Πατέρα φύσει ᾠκειώθης; ἀλλὰ πρὸς Πατέρα ὁ Ἀδελφὸς ἀδικεῖ; τήρει τοιγαροῦν τὴν τάξιν τὴν σαυτοῦ πρὸς αὐτόν. μὴ δὲ σκόπει τὸ τί ἐκεῖνος ποιεῖ, ἀλλὰ τί σοὶ ποιήσαντι κατὰ φύσιν ἕξει ἡ σὴ προαίρεσις. σὲ γὰρ ἄλλος οὐ βλάψει εἰ μὴ θέλεις. τότε δὲ ἔσῃ βεβλαμμένος, ὅταν ὑπολάβῃς βλάπτεσθαι. οὕτως οὖν ἀπὸ τοῦ πολίτου, ἀπὸ τοῦ γείτονος, ἀπὸ τοῦ στρατηγοῦ τὸ καθῆκον ἐξευρήσεις, ἂν τὰς σχέσεις ἐθίζει θεωρεῖν.

## ΚΕΦΑΛΑΙΟΝ ΛΗ′.

Τῆς περὶ Θεὸν εὐσεβείας, ἴσθι ὅτι τὸ κυριώτατον ἐκεῖνο ἐστὶν ὀρθὰς ὑπολήψεις περὶ αὐτοῦ ἔχειν ὡς αὐτοῦ, καὶ διοικοῦντος ὅλα καλῶς καὶ δικαίως, καὶ αὐτὸν εἰς τοῦτο κατατεταχέναι εἰς τὸ πείθεσθαι αὐτῷ, καὶ ἕπεσθαι καὶ εἴκειν πᾶσι τοῖς γινομένοις, καὶ ἀκολουθεῖν ἑκόντα ὡς ἐπὶ τῆς ἀρίστης γνώμης ἐπιτελουμένοις. οὕτω γὰρ οὔτε μέμψῃ τὸν Θεὸν ποτὲ, οὔτε ἐγκαλέσεις ὡς ἀμελούμενος. ἄλλως δὲ τοῦτο οὐχ οἷόν τε ἐὰν μὴ ἀπο-

ἀποστῇς τῶν οὐκ ἐφ' ἡμῖν, καὶ ἐν τοῖς ἐφ' ἡμῖν μόνοις θῇς τὸ ἀγαθὸν, καὶ τὸ κακὸν, ὥστ' ἂν γέ τι ἐκείνων ὑπολαβὼν ἀγαθὸν, ἢ κακὸν πᾶσα ἀνάγκη, ὅταν ἀποτυγχάνῃς, ὧν θέλεις καὶ περιπίπτεις οἷς οὐκ ἐθέλεις μέμφεσθαί σε, καὶ μισεῖν τοὺς αἰτίους. πέφυκε γὰρ πρὸς πᾶν ζῷον τὰ μὲν βλαβερὰ φαινόμενα, καὶ αἴτια αὐτῶν φεύγειν, καὶ ἐκτρέπεσθαι, τὰ δὲ ὠφέλιμα, καὶ τὰ αἴτια αὐτῶν μετιέναι, καὶ τεθαυμακέναι. ἀμήχανον οὖν βλάπτεσθαι τινὰ οἰόμενον χαίρειν τῷ δοκοῦντι βλάπτειν, ὥσπερ καὶ τὸ αὐτῇ τῇ βλάβῃ χαίρειν ἀδύνατον. Ἔνθεν καὶ πατὴρ ὑπὸ τοῦ υἱοῦ λοιδορεῖται, ὅταν τῶν δοκούντων ἀγαθῶν εἶναι τῷ παιδὶ μὴ μεταδιδῷ, καὶ τισὶ τῶν ἀφρόνων τοῦτο ἐποίησε τὸ ἀγαθὸν οἴεσθαι τὴν τυραννίδα. διὰ τοῦτο καὶ γεωργὸς λοιδορεῖ τὸν Θεόν. Διὰ τοῦτο ὁ ναύτης, διὰ τοῦτο ὁ ἔμπορος, ἐπὶ τούτῳ οἱ τὰς γυναῖκας ἀπολύοντες, καὶ τὰ τέκνα. ὅπου γὰρ τὸ συμφέρον, ἐκεῖ καὶ τὸ εὐσεβές, ὥστε ὅστις τοῦ ὀρέγεσθαι ἐπιμελεῖται ὧν δεῖ καὶ ἐκκλίνειν, ἐν τούτῳ καὶ εὐσεβείας ἐπιμελεῖται. προσήκει κατ' ἀλήθειαν ἅπτεσθαι ἔργου, καθαρῶς, καὶ μὴ ἐπισεσυρμένως, μηδὲ ἀμελῶς, μηδέ γε αἰσχροκερδῶς, μηδὲ ὑπὲρ δύναμιν.

Ε.Υ.Α της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΛΘ΄.

Τάξον τινὰ εἶδος χαρακτῆρα σαυτῷ, καὶ τύπον, ὃν φυλάξεις ἐπί τε σαυτοῦ ὢν, καὶ ἀνθρώποις ἐντυγχάνων.

## ΚΕΦΑΛΑΙΟΝ Μ΄.

Σιωπὴ τὸ πολὺ ἔστω, ἢ λαλείσθω τὰ ἀναγκαῖα, καὶ δι᾽ ὀλίγων, σπανίως δέ ποτε καιροῦ παρακαλοῦντος ἐπὶ τὸ λέγειν ἥξωμεν. ἀλλὰ περὶ μηδενὸς τῶν τυχόντων, μὴ περὶ μονομαχιῶν, μὴ περὶ ἱπποδρομίων, μὴ περὶ ἀθλητῶν, μὴ βρωμάτων, ἢ πομάτων, ἢ τῶν ἑκασταχοῦ λεγομένων, μάλιστα δὲ μὴ περὶ ἀνθρώπων ψέγοντα, ἢ ἐπαινοῦντα, ἢ συγκρίνοντα.

## ΚΕΦΑΛΑΙΟΝ ΜΑ΄.

Ἐὰν μὲν οὖν οἷός τε ᾖ, μετάγε τοὺς σοὺς λόγους, καὶ τοὺς τῶν συνόντων ἐπὶ τὸ προσῆκον. εἰ δὲ ἐν ἀλλοφίλοις ἀποληφθεὶς τύχοις, σιώπα.

## ΚΕΦΑΛΑΙΟΝ ΜΒ΄.

Γέλως μὴ πολὺς ἔστω, μηδὲ ἀνειμένος, μηδὲ ἐπὶ πολλοῖς.

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Ε.Π.Ι. ΙΩΑΝΝΙΝΑ 2000

## ΚΕΦΑΛΑΙΟΝ ΜΓ΄.

Ὅρκον παραίτησαι, εἰ μὲν οἷόν τε εἰς ἅπαν, εἰ δὲ μὴ ἐκ τῶν ἐνόντων.

## ΚΕΦΑΛΑΙΟΝ ΜΔ΄.

Ἑστιάσεις τὰς ἔξω, καὶ ἰδιωτικὰς διακρούου. ἐὰν δέ ποτε γίνηται καιρὸς ἐντετάσθω σοι ἡ προσοχὴ μή ποτε ἄρα ὑπορρυῇς εἰς ἰδιωτισμόν. ἴσθι γὰρ ὅτι ἐὰν ὁ ἑταῖρος ᾖ μεμολυσμένος, καὶ τὸν συναναστριβόμενον αὐτῷ συμμολύνεσθαι ἀνάγκη, κἂν αὐτὸς ὢν τύχῃ καθαρός.

## ΚΕΦΑΛΑΙΟΝ ΜΕ΄.

Τὰ περὶ τὸ σῶμα μέχρι τῆς χρείας ψιλῆς παραλάμβανε, οἷον τροφάς, πόμα, ἀμπεχόνην, οἰκετίαν. τὰ δὲ πρὸς ἡδονὴν, ἢ δόξαν, ἢ τρυφὴν, ἅπαντα περίγραφε.

## ΚΕΦΑΛΑΙΟΝ Μϛ΄.

Ἐὰν τίς σοι ἀπαγγέλλῃ ὅτι ὁ δεῖνά σε κακῶς λέγει, μὴ ἀπολογοῦ πρὸς τὰ λεχθέντα, ἀλλ' ἀποκρίνου, διότι ἠγνόει τὰ ἄλλα τὰ προσόντα μοι κακά, ἐπεὶ οὐκ ἂν ταῦτα μόνα ἔλεγεν.

ΚΕ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΜΕΤΑΦΡΑΣΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Τ.Ε.Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΜΖ'.

Οὐ καλὸν τὸ παριέναι εἰς θέατρον, εἰς ἀκρόασιν τινῶν, μὴ εἰκῆ, μή τε ῥᾳδίως πάριθι. παριὼν δὲ τὸ σεμνὸν, καὶ τὸ εὐσταθὲς, καὶ ἅμα ἀνεπαχθὲς φύλασσε.

## ΚΕΦΑΛΑΙΟΝ ΜΗ'.

Ὅταν τινὶ μέλλῃς συμβάλλειν, μάλιστα τῶν ἐν ὑπεροχῇ δοκούντων, πρόβαλε σεαυτῷ τί ἂν ἐποίησέ τις τῶν ἐναρέτων, καὶ οὐκ ἀπορήσεις τοῦ χρήσασθαι προσηκόντως τῷ ἐμπεσόντι.

## ΚΕΦΑΛΑΙΟΝ ΜΘ'.

Ὅταν φοιτᾷς πρὸς τινὰ τῶν μέγα δυναμένων, πρόβαλε σεαυτῷ, ὅτι οὐχ εὑρήσεις αὐτὸν ἔνδον, ὅτι ἀποκλεισθήσῃ, ὅτι ἐντιναχθήσονταί σοι αἱ θύραι, ὅτι οὐ φροντιεῖ σου, κἂν σὺν αὐτοῖς ἐλθεῖν καθήκῃ, ἐλθὼν φέρε τὰ γενόμενα, καὶ μηδέποτε εἴπῃς αὐτὸς πρὸς ἑαυτὸν, ὅτι οὐκ ἦν τοσούτου. ἰδιωτικὸν γὰρ, καὶ διαβεβλημένον πρὸς τὰ ἐκτός.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ Ν'.

Εν ταῖς ὁμιλίαις ἀπέστω τὸ τῶν αὐτοῦ τινὰ ἔργων, καὶ κινδύνων ἐπὶ πολὺ, καὶ ἀμέτρως μεμνῆσθαι, οὐ γὰρ ὡς σοὶ ἡδύ ἐστι τῶν σῶν κινδύνων μεμνῆσθαι, οὕτω καὶ τοῖς ἄλλοις ἡδύ ἐστι τῶν σοὶ συμβεβηκότων πυκνῶς ἀκούειν.

## ΚΕΦΑΛΑΙΟΝ ΝΑ'.

Απέστω δὲ καὶ τὸ γέλωτα κινεῖν, ὀλισθηρὸς γὰρ ὁ τρόπος εἰς ἰδιωτικὸν, καὶ μάλα ἱκανὸς τὴν αἰδῶ τὴν πρὸς σὲ τῶν πλησίον ἀνεῖναι.

## ΚΕΦΑΛΑΙΟΝ ΝΒ'.

Επισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολογίαν ἐμπεσεῖν. ὅταν οὖν συμβῇ τι τοιοῦτον ἐὰν μὲν εὔκαιρον ᾖ, καὶ ἐπίπληξον τῷ προσελθόντι. εἰ δὲ μὴ, τῷ σε ἀποσιωπῆσαι, τῷ ἐρυθριάσαι, καὶ σκυθρωπάσαι, δῆλος γίνου δυσχεραίνων τῷ λόγῳ.

## ΚΕΦΑΛΑΙΟΝ ΝΓ'.

Οταν ἡδονῆς τινὸς φαντασίαν λάβῃς καθάπερ ἐπὶ τῶν ἄλλων, φύλασσε σεαυτὸν μὴ συναρπασθῇς ὑπ' αὐτῆς, ἀλλὰ ἐκδεξάσθω σε τὸ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΑΙΓ. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2008

πρᾶγμα, καὶ ἀναβολήν τινα, παρὰ σεαυτοῦ λάβε, ἔπειτα μνήσθητι ἀμφοτέρων τῶν χρόνων, καθ' ὅντε ἀπήλαυσας τῆς ἡδονῆς, καὶ καθ' ὃν ἀπολαύσας ὕστερον μετανοεῖς, καὶ αὐτὸς σεαυτοῦ λοιδόρει, καὶ τούτοις ἀντίθες, ὅπως ἀποσχόμενος χαιρήσεις, καὶ ἐπαινέσεις αὐτὸς σεαυτόν. ἐὰν δὲ εὔκαιρον φανῇ ἅψασθαι τοῦ ἔργου, πρόσεχε μὴ ἡττήσῃ σε τὸ προσηνὲς αὐτοῦ, καὶ ἡδὺ, καὶ ἐπαγωγὸν, ἀλλ' ἀντίθοι πόσον ἄμεινον τὸ συνειδέναι σεαυτῷ ταύτην τὴν νίκην νενικηκότι.

## ΚΕΦΑΛΑΙΟΝ ΝΔ΄.

Ὅταν διαγνοὺς, ὅτι ποιητέον σοι ἐστὶ ποιῇς, μηδὲ πώποτε φύγῃς ὀφθῆναι πράσσων αὐτὸ, κἂν ἀλλοῖόν τι οἱ πολλοὶ περὶ αὐτοῦ μέλλωσιν ὑπολαμβάνειν. εἰ μὲν γὰρ οὐκ ὀρθῶς ποιεῖς αὐτὸ τὸ ἔργον, φεῦγε. εἰ δὲ ὀρθῶς, τί φοβῇ τοὺς ἐπιπλήξοντας οὐκ ὀρθῶς.

## ΚΕΦΑΛΑΙΟΝ ΝΕ΄.

Πρὸς μὲν τὸ διεζευγμένον μεγάλην ἔχει ἀξίαν, πρὸς τὸ συμπεπλεγμένον δὲ ἀπαξίαν, οὕτω καὶ τὸ τὴν μείζω μερίδα ἐκλέξασθαι πρὸς μὲν τὸ σῶμα ἐχέτω ἀξίαν, πρὸς δὲ κοινωνίαν ἐν ἑστιάσει οἷον δεῖ φυλάξαι ἀπαξίαν ἔχει. ὅταν οὖν συνεσθίῃς ἑταίρῳ, μὴ μόνον τὴν πρὸς τὸ σῶμα ἀξίαν τῶν παρακειμένων ὅρα,

ἀλλὰ

ἀλλὰ καὶ τὴν πρὸς τὸν ἑστιάτορα, αἷον δεῖ φυλαχθῆναι.

## ΚΕΦΑΛΑΙΟΝ Νς΄.

Ἐὰν ὑπὲρ δύναμιν ἀναλάβῃς τι πρόσωπον, καὶ ἐν τούτῳ ἠσχημόνησας, καὶ ὃ ἠδύνασο ἐκπληρῶσαι, τοῦτο κατέλιπες.

## ΚΕΦΑΛΑΙΟΝ ΝΖ΄.

Ἐν τῷ περιπατεῖν καθάπερ προσέχεις μὴ ἐπιβῇς ἥλῳ, ἢ στρέψῃς τὸν πόδα σου, οὕτω πρόσεχε μὴ καὶ τὸ ἡγεμονικὸν βλάψῃς τὸ σεαυτοῦ, καὶ τοῦτο ἐὰν ἐφ᾽ ἑκάστου ἔργου παραφυλάξωμεν, ἀσφαλέστερον ἀψόμεθα ἑκάστου ἔργου.

## ΚΕΦΑΛΑΙΟΝ ΝΗ΄.

Μέτρον κτήσεως τὸ σῶμα ἑκάστου, ὡς ὁ πούς ὑποδήματος. ἐὰν ἐπὶ τούτου στῇς, φυλάξεις τὸ μέτρον, ἐὰν δὲ ὑπερβῇς, ὡς κατὰ κρημνοῦ λοιπὸν ἀνάγκη φέρεσθαι, καθάπερ καὶ ἐπὶ τοῦ ὑποδήματος, ἐὰν ὑπερβῇ τὸν πόδα, γίνεται. εἶτε κατάχρυσον ὑπόδημα, εἶτε πορφυροῦν, εἶτε κεντητόν. Τοῦ γὰρ ἅπαξ ὑπὲρ τὸ μέτρον ὅρος οὐδείς ἐστίν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΚΕΝΤΡΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝ/ΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΝΘ'.

Αἱ γυναῖκες εὐθὺς ἀπὸ τέσσαρες καὶ δέκα ἐτῶν ὑπὸ τῶν ἀνδρῶν κύριαι καλοῦνται. τοιγαροῦν ὁρῶσαι ὅτι ἄλλο μὲν οὐδὲν αὐταῖς πρόσεστι, μόνον δὲ συγκοιμᾶσθαι τοῖς ἀνδράσιν, ἄρχονται καλλωπίζεσθαι, κἂν ἐν τούτῳ πάσας ἔχειν τὰς ἐλπίδας. προσέχειν οὖν ἄξιον ἵνα αἴσθωνται, ὅτι ἐπ' οὐδενὶ ἄλλῳ τιμῶνται, ἢ τῷ κόσμιαι φαίνεσθαι, καὶ αἰδήμονες ἐν σωφροσύνῃ.

## ΚΕΦΑΛΑΙΟΝ Ξ'.

Ἀφυΐας σημεῖον τὸ ἐνδιατρίβειν τοῖς περὶ τὸ σῶμα, οἷον ἐπὶ πολὺ γυμνάζεσθαι, ἢ ἐπὶ πολὺ ἐσθίειν, ἢ ἐπὶ πολὺ πίνειν, ἢ ἐπὶ πολὺ ἀποπατεῖν. ἀλλὰ ταῦτα μὲν ἐν παρέργῳ ποιητέον, περὶ δὲ τὴν γνώμην ἔστω ἡ πᾶσα ἐπιστροφή.

## ΚΕΦΑΛΑΙΟΝ ΞΑ'.

Ὅταν τίς κακῶς τὶ ποιῇ, ἢ κακῶς σὲ λέγῃ, μέμνησο ὅτι καθήκειν αὐτῷ οἰόμενος ποιεῖ, ἢ λέγει. οὐχ οἷόν τε οὖν ἀκολουθεῖν αὐτὸν τῷ σοὶ φαινομένῳ, ἀλλὰ τῷ αὐτῷ, ὥστε εἰ κακῶς αὐτῷ φαίνεται ἐκεῖνος βέβλαπται,



ΙΩΑΝΝΙΝΑ 2006

ὅστις ὥσπερ καὶ ἐξηπάτηται· καὶ γὰρ τὸ ἀληθὲς συμπεπλεγμένον ἐὰν τὶς ὑπολάβῃ ψεῦδος, οὐ τὸ συμπεπλεγμένον βέβλαπται, ἀλλ' ὁ ἐξαπατηθείς. ἀπὸ τούτων ὁρμώμενος πράως ἕξεις πρὸς τὸν λοιδοροῦντα, ἐπιφθέγγου γὰρ ἐφ' ἑκάστου, ὅτι ἔδοξεν αὐτῷ.

## ΚΕΦΑΛΑΙΟΝ ΞΒ'.

Πᾶν πρᾶγμα δύω ἔχει λαβὰς, τὴν μὲν ἀφόρητον, τὴν δὲ φορητήν. ἐὰν οὖν ἀδελφός σε ἀδικῇ, ἐντεῦθεν αὐτὸ μὴ λάμβανε, ὅτι ἀδικεῖ. αὐτὴ γὰρ ἡ λαβή ἐστιν αὐτοῦ, οὐ φορητή. ἀλλὰ ἐκεῖθεν μᾶλλον ὅτι ἀδελφὸς, ὅτι σύντροφος, καὶ λήψῃ αὐτὸ καθὸ φορητόν ἐστιν.

## ΚΕΦΑΛΑΙΟΝ ΞΓ'.

Οὗτοι οἱ λόγοι ἀσύντακτοι, ἐγὼ σοῦ πλουσιώτερος, ἐγὼ ἄρα σοῦ κρείττων. ἐγώ σου λογιώτερος, ἐγὼ σοῦ ἄρα κρείττων, ἐκεῖνοι δὲ μᾶλλον συντακτικοὶ, ἐγὼ σοῦ πλουσιώτερος. ἡ ἐμὴ ἄρα κτῆσις κρείττων τῆς σῆς. ἐγὼ σοῦ λογιώτερος, ἡ ἐμὴ ἄρα λέξις τῆς σῆς κρείσσων, σὺ δὲ οὔτε κτῆσις εἶ οὔτε λέξις.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ... ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΡΙΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## ΚΕΦΑΛΑΙΟΝ ΞΔ΄.

Λούεταί τις ταχέως; μὴ εἴπῃς ὅτι κακῶς, ἀλλὰ ὅτι ταχέως. πίνει τις πολὺν οἶνον; μὴ εἴπῃς ὅτι κακῶς, ἀλλ᾽ ὅτι πολύν, πρὶν γὰρ τοῦ γνῶναι τὸ πρᾶγμα, πόθεν ἤδεις εἰ κακῶς; οὕτως οὐ συμβήσεταί σοι ἄλλων μὲν φαντασίας καταληπτικὰς λαμβάνειν, ἄλλοις δὲ συγκατίθεσθαι.

## ΚΕΦΑΛΑΙΟΝ ΞΕ΄.

Μηδαμοῦ σεαυτὸν εἴπῃς φιλόσοφον, μηδὲ λάλει τὸ πολὺ ἐν ἰδιώταις περὶ τῶν θεωρημάτων. οἷον ἐν συμποσίῳ, μὴ λέγε πῶς δεῖ ἐσθίειν, ἀλλ᾽ ἔσθιε ὡς δεῖ. μέμνησο γὰρ ὅτι οὕτως ἀφῃρήκει Σωκράτης πανταχόθεν τὸ ἐπιδεικτικὸν ὥστε ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι ὑπ᾽ αὐτοῦ φιλοσόφοις συστᾶθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς. οὕτως ἠνείχετο παρορώμενος.

## ΚΕΦΑΛΑΙΟΝ Ξϛ΄.

Ὥστε κἂν περὶ θεωρήματος τινὸς ἐμπέσῃ λόγος ἐν ἰδιώταις, σιώπα τὸ πολύ, μέγας γὰρ ὁ κίνδυνος εὐθὺς ἐμέσαι ἃ οὐκ ἔπεψας, καὶ ὅταν εἴπῃ σοι τὶς ὅτι οὐδὲν οἶσθα, καὶ σὺ μὴ δειχθῇς. τότε ἴσθι ὅτι ἄρχῃ τοῦ ἔργου, ἐπεὶ

καὶ

ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
Ε.Υ. ΑΤΡ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὰ πρόβατα οὐ χόρτον φέροντα τοῖς ποιμέσιν ἐπιδεικνύει πόσον ἔφαγεν, ἀλλὰ τὴν νομὴν ἔσω πέψαντα, ἔριον ἔξω φέρει, καὶ γάλακτι. καὶ σὺ τοίνυν μὴ τὰ θεωρήματα τοῖς ἰδιώταις ἐπιδείκνυε, ἀλλὰ τὰ ἀπ' αὐτῶν πεφθέντα ἔργα.

## ΚΕΦΑΛΑΙΟΝ ΞΖ'.

Ὅταν εὐτελῶς εἶ ἡρμοσμένος τὰ κατὰ σῶμα, μὴ καλλωπίζου ἐπὶ τούτῳ. μηδ' ἂν ὕδωρ πίνῃς ἐκ πάσης ἀφορμῆς, λέγε ὅτι ὕδωρ πίνεις, κἂν ἄσκησαι πότε πρὸς πόνον θελήσῃς σαυτῷ, καὶ μὴ τοῖς ἔξω. μὴ κατὰ ἀνδριάντας περιλάμβανε, ἀλλὰ διψῶν ποτε σφοδρῶς, ἐπίσπασαι ψυχροῦ ὕδατος, καὶ ἔκπτυσον, καὶ μηδενὶ εἴπῃς.

## ΚΕΦΑΛΑΙΟΝ ΞΗ'.

Ἰδιώτου στάσις, καὶ χαρακτὴρ, οὐδεμίαν ποτὲ ἐξ ἑαυτοῦ προσδοκᾷ ὠφέλειαν, ἢ βλάβην, ἀλλ' ἀπὸ τῶν ἔξω. φιλοσόφου στάσις, καὶ χαρακτὴρ πᾶσαν ὠφέλειαν, καὶ βλάβην, ἐξ ἑαυτοῦ προσδοκᾷ.

## ΚΕΦΑΛΑΙΟΝ ΞΘ'.

Σημεῖον προκόπτοντος οὐδένα ψέγει προχείρως, οὐδένα μέμφεται, οὐδενὶ ἐγκαλεῖ, πάντις αὐ-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸν ἐπαινῇ, καταγελᾷ τοῦ ἐπαινοῦντος αὐτὸν παρ' ἑαυτῷ, κἂν ψέγῃ οὐκ ἀπολογεῖται. περίεισι δὲ καθάπερ οἱ ἄῤῥωστοι εὐλαβούμενοί τι κινῆσαι τῶν καθισταμένων πρὶν πῆξιν λαβεῖν.

## ΚΕΦΑΛΑΙΟΝ Ο'.

Ὅτι δ' ἂν ἐρῇ τις περὶ σοῦ, μὴ ἐπιστρέφου. τοῦτο γὰρ οὐκ ἔτι σὸν ἐστίν.

## ΚΕΦΑΛΑΙΟΝ ΟΑ'.

Εἰς ποῖον ἔτι χρόνον ἀναβάλλῃ τὸ τῶν βελτίστων ἀξιοῦν ἑαυτὸν, καὶ ἐν μηδενὶ παραβαίνειν τὸν διαιροῦντα λόγον; παρείληφας τὰ θεωρήματα, οἷς ἔδει συμβάλλειν, συμβέβληκας. ποῖον διδάσκαλον προσδοκᾷς, ἵνα εἰς ἐκεῖνον ὑπέρθῃ τὴν ἐπανόρθωσιν τὴν σεαυτοῦ; οὐκ ἔτι εἶ μειράκιον, ἀλλὰ ἀνὴρ ἤδη τέλειος. ἐὰν οὖν ἀμελήσῃ, καὶ ῥαθυμήσῃς, καὶ ἀεὶ προθέσεις ἐκ προθέσεως ποιῇς καὶ ἡμέρας ἄλλας ἐπ' ἄλλαις ὁρίζεις μεθ' ἃς προσέξῃς σεαυτῷ, λήσεις σεαυτὸν οὐ προκόψας, ἀλλ' ἰδιώτης διατελέσεις, καὶ ζῶν, καὶ ἀποθνήσκων. ἤδη οὖν σεαυτὸν ἐκβιοῦν ἔθιζε ὡς τέλειον, ὡς προκόπτοντα, καὶ πᾶν τὸ βέλτιστον φαινόμενον ἔστω σοι νόμος ἀπαράβατος, κἂν ἐπίπονόν τι ᾖ, εἴτι ἡδὺ, ἢ ἔνδοξον, ἢ ἄδοξον προσάγηταί σε. μέμνησο ὅτι νῦν ὁ ἀγὼν, καὶ ὅτι ἤδη πάρεστι τὰ ὀλύμπια, καὶ οὐκ ἔστιν ἀνα-

βάλ-

βάλλεσθαι οὐκ ἔτι, καὶ ἐπὶ παρὰ μίαν ἧτταν, καὶ ἐνδόσιν, καὶ ἀπόλλυται προκοπὴ, καὶ σώζεται. καὶ Παῦλος οὕτω διετέλεσεν ἐπὶ πάντων προσάγων ἑαυτὸν μηδενὶ ἄλλῳ προσέχειν ἢ τῷ λόγῳ. σὺ δὲ καὶ εἰ μήπω Παῦλος εἶ, ὡς Παῦλος εἶναι βουλόμενος ὀφείλεις βιοῦν.

## ΚΕΦΑΛΑΙΟΝ ΟΒ'.

Ἀποκτεῖναι μέν τίς με δύναται, βλάψαι δὲ οὔ.

## ΚΕΦΑΛΑΙΟΝ ΟΓ'.

Παρήγγειλε γὰρ ὁ Κύριος μὴ δυναμένους βλάψαι μὴ φοβεῖσθαι, λέγων, μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν, καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006